### XVI [Simon. 181B., 156D.]

*βωμοὺς τούσδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,*
*ὃς πλεῖστον Μούσης εἷλε κλέος τραγικῆς.*

### XVII [115B., 114D.]

*βουκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος*
*βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.*

### XVIII [116B., 115D.]

*βοίδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ᾿ ὑπὸ γήρως*
*χαλκωθὲν σφετέρῃ ψεύσατο χειρὶ Μύρων.*

## SIMONIDES

### I–II de rebus ante bellum Medicum gestis Simonidi adscripta

### I [131B., 76D.]

*ἦ μέγ᾿ Ἀθηναίοισι φόως γένεθ᾿, ἡνίκ᾿ Ἀριστο-*
*γείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος·*
[ ]
[ ] *πατρίδα γῆν ἐθέτην.*